Ακαδημία Αθηνών / Academy of Athens



## ΕΥΧΑΙ

### ἐπὶ τῶν μετανοούντων.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, Ποιμὴν καὶ Ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δάνειον χαρισάμενος τοῖς δυσὶ χρεωφειλέταις καὶ τῇ ἁμαρτωλῷ δοὺς ἄφεσιν ἁμαρτιῶν αὐτῆς, αὐτός, δέσποτα, ἄνες, ἄφες, συγχώρησον τὰς ἁμαρτίας, τὰς ἀνομίας, τὰ πλημμελήματα τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ γενόμενα παρὰ τῶν δούλων Σου τούτων. Καὶ εἴ τι ὡς ἄνθρωποι σάρκα φοροῦντες καὶ τὸν κόσμον οἰκοῦντες ἐκ τοῦ διαβόλου ἐπλανήθησαν, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε λόγον ἱερέως κατεπάτησαν, ἢ ὑπὸ κατάραν ἱερέως ἐγένοντο, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσον, ἢ ὅρκῳ ὑπήχθησαν, αὐτός, ὡς ἀγαθὸς καὶ ἀμνησίκακος δεσπότης, τούτους τοὺς δούλους Σου λόγῳ λυθῆναι εὐδόκησον, συγχωρῶν αὐτοῖς καὶ τὸ ἴδιον ἀνάθεμα καὶ τὸν ὅρκον κατὰ τὸ μέγα Σου ἔλεος. Ναί, δέσποτα φιλάνθρωπε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων τῆς Σῆς ἀγαθότητος ὑπὲρ τῶν δούλων Σου τούτων καὶ πάριδε ὡς πολυέλεος τὰ πταίσματα αὐτῶν ἅπαντα, ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· Σὺ γὰρ εἶπας, δέσποτα· «Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ»· Ὅτι Σὺ εἶ μόνος ἀναμάρτητος καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΕΤΕΡΑ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος καὶ τὸν τελώνην τὰ ἴδια ἐπιγνόντα πταίσματα δικαιώσας, πρόσδεξαι τὴν ἐξομολόγησιν τοῦ δούλου Σου (δεῖνος)· καὶ εἴ τι ἐπλημμέλησεν, ἑκούσιον ἢ ἀκούσιον ἁμάρτημα, ἐν λόγῳ ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· Σὺ γὰρ εἶ ὁ μόνος ἐξουσίαν ἔχων ἀφιέναι ἁμαρτίας καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἐμῆς ἐλαχιστότητος ἔχοι Σε λελυμένον καὶ συγκεχωρημένον.

## ΕΥΧΗ

### τῶν κολλύβων.

Εἰς μνήμην Ἁγίου.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ Σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρποὺς εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν· ὁ τοῖς σπέρμασι τοὺς τρεῖς παῖδας καὶ Δανιὴλ τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας. Αὐτός, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπερματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἁγίασον· ὅτι εἰς δόξαν Σὴν καὶ εἰς τιμὴν καὶ μνήμην τοῦ ἁγίου (τοῦδε) ταῦτα προε-

Ακαδημία Αθηνών / Academy of Athens